# Week 8 Theocritus 2; Hippolytus, *Ref.* 4.37

## Theocritus Idyll 2

(2.) *ΘΕΟΚΡΙΤΟΥ ΦΑΡΜΑΚΕΥΤΡΙΑ* (t)

*Πᾷ μοι ταὶ δάφναι; φέρε, Θεστυλί. πᾷ δὲ τὰ φίλτρα;* (1)
*στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,*
*ὡς τὸν ἐμὸν βαρὺν εὖντα φίλον καταδήσομαι ἄνδρα,*
*ὅς μοι δωδεκαταῖος ἀφ’ ὧ τάλας οὐδὲ ποθίκει,*
*οὐδ’ ἔγνω πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές,* (5)
*οὐδὲ θύρας ἄραξεν ἀνάρσιος. ἦ ῥά οἱ ἀλλᾷ*
*ᾤχετ’ ἔχων ὅ τ’ Ἔρως ταχινὰς φρένας ἅ τ’ Ἀφροδίτα.*
*βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν*
*αὔριον, ὥς νιν ἴδω, καὶ μέμψομαι οἷά με ποιεῖ.*
*νῦν δέ νιν ἐκ θυέων καταδήσομαι. ἀλλά, Σελάνα,* (10)
*φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἄσυχα, δαῖμον,*
*τᾷ χθονίᾳ θ’ Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι*
*ἐρχομέναν νεκύων ἀνά τ’ ἠρία καὶ μέλαν αἷμα.*
*χαῖρ’, Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει,*
*φάρμακα ταῦτ’ ἔρδοισα χερείονα μήτε τι Κίρκας* (15)
*μήτε τι Μηδείας μήτε ξανθᾶς Περιμήδας.*
*Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (16)
*ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται. ἀλλ’ ἐπίπασσε,* (17)
*Θεστυλί. δειλαία, πᾷ τὰς φρένας ἐκπεπότασαι;*
*ἦ ῥά γέ θην, μυσαρά, καὶ τὶν ἐπίχαρμα τέτυγμαι;*
*πάσσ’ ἅμα καὶ λέγε ταῦτα· ‘τὰ Δέλφιδος ὀστία πάσσω.’* (20)
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (21)
*Δέλφις ἔμ’ ἀνίασεν· ἐγὼ δ’ ἐπὶ Δέλφιδι δάφναν* (22)
*αἴθω· χὡς αὕτα λακεῖ μέγα καππυρίσασα*
*κἠξαπίνας ἅφθη κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς,*
*οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ’ ἀμαθύνοι.* (25)
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (26)
*νῦν θυσῶ τὰ πίτυρα. τὺ δ’, Ἄρτεμι, καὶ τὸν ἐν Ἅιδα* (33)
*κινήσαις ἀδάμαντα καὶ εἴ τί περ ἀσφαλὲς ἄλλο—*
*Θεστυλί, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται·* (35)
*ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκέον ὡς τάχος ἄχει.*
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (36)
*ἠνίδε σιγῇ μὲν πόντος, σιγῶντι δ’ ἀῆται·* (37)
*ἁ δ’ ἐμὰ οὐ σιγῇ στέρνων ἔντοσθεν ἀνία,*
*ἀλλ’ ἐπὶ τήνῳ πᾶσα καταίθομαι ὅς με τάλαιναν*
*ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον ἦμεν.* (40)
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (41)
*ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω,* (28)
*ὣς τάκοιθ’ ὑπ’ ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις.*
*χὡς δινεῖθ’ ὅδε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας,* (30)
*ὣς τῆνος δινοῖτο ποθ’ ἁμετέραισι θύραισιν.*
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (31)
*ἐς τρὶς ἀποσπένδω καὶ τρὶς τάδε, πότνια, φωνῶ·* (43)
*εἴτε γυνὰ τήνῳ παρακέκλιται εἴτε καὶ ἀνήρ,*
*τόσσον ἔχοι λάθας ὅσσον ποκὰ Θησέα φαντί* (45)
*ἐν Δίᾳ λασθῆμεν ἐυπλοκάμω Ἀριάδνας.*
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (46)
*ἱππομανὲς φυτόν ἐστι παρ’ Ἀρκάσι, τῷ δ’ ἔπι πᾶσαι* (47)
*καὶ πῶλοι μαίνονται ἀν’ ὤρεα καὶ θοαὶ ἵπποι·*
*ὣς καὶ Δέλφιν ἴδοιμι, καὶ ἐς τόδε δῶμα περάσαι*
*μαινομένῳ ἴκελος λιπαρᾶς ἔκτοσθε παλαίστρας.* (50)
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (51)
*τοῦτ’ ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,*
*ὡγὼ νῦν τίλλοισα κατ’ ἀγρίῳ ἐν πυρὶ βάλλω.*

*αἰαῖ Ἔρως ἀνιαρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα*
*ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;* (55)
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (56)
*σαύραν τοι τρίψασα κακὸν ποτὸν αὔριον οἰσῶ.* (57)
*Θεστυλί, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ' ὑπόμαξον*
*τᾶς τήνω φλιᾶς καθ' ὑπέρτερον ἇς ἔτι καὶ νύξ,*
*[ἐκ θυμῶ δέδεμαι· ὃ δέ μευ λόγον οὐδένα ποιεῖ]* (60)
*καὶ λέγ' ἐπιτρύζοισα 'τὰ Δέλφιδος ὀστία μάσσω.'*
*ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.* (62)
*Νῦν δὴ μώνα ἐοῖσα πόθεν τὸν ἔρωτα δακρύσω;* (63)
*ἐκ τίνος ἄρξωμαι; τίς μοι κακὸν ἄγαγε τοῦτο;*
*ἦνθ' ἁ τωὐβούλοιο καναφόρος ἄμμιν Ἀναξώ* (65)
*ἄλσος ἐς Ἀρτέμιδος, τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα*
*θηρία πομπεύεσκε περισταδόν, ἐν δὲ λέαινα.*
*φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.* (68)
*καί μ' ἁ Θευμαρίδα Θρᾷσσα τροφός, ἁ μακαρῖτις,* (69)
*ἀγχίθυρος ναίοισα κατεύξατο καὶ λιτάνευσε* (70)
*τὰν πομπὰν θάσασθαι· ἐγὼ δέ οἱ ἁ μεγάλοιτος*
*ὡμάρτευν βύσσοιο καλὸν σύροισα χιτῶνα*
*κἀμφιστειλαμένα τὰν ξυστίδα τὰν Κλεαρίστας.*
*φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.*
*ἤδη δ' εὖσα μέσαν κατ' ἀμαξιτόν, ᾇ τὰ Λύκωνος,* (75)
*εἶδον Δέλφιν ὁμοῦ τε καὶ Εὐδάμιππον ἰόντας·*
*τοῖς δ' ἦς ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειάς,*
*στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τύ, Σελάνα,*
*ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων.*
*φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.* (80)
*χὠς ἴδον, ὣς ἐμάνην, ὥς μοι πυρὶ θυμὸς ἰάφθη* (81)
*δειλαίας, τὸ δὲ κάλλος ἐτάκετο. οὐκέτι πομπᾶς*
*τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον*
*ἔγνων, ἀλλά μέ τις καπυρὰ νόσος ἐξεσάλαξεν,*
*κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.* (85)
*φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.* (86)
*καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ,* (87)
*ἔρρευν δ' ἐκ κεφαλᾶς πᾶσαι τρίχες, αὐτὰ δὲ λοιπά*
*ὀστί' ἔτ' ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρασα,*
*ἢ ποίας ἔλιπον γραίας δόμον ἅτις ἐπᾷδεν;* (90)
*ἀλλ' ἦς οὐδὲν ἐλαφρόν, ὁ δὲ χρόνος ἄνυτο φεύγων.*
*φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.* (92)
*χοὔτω τᾷ δώλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα·* (93)
*'εἰ δ' ἄγε, Θεστυλί, μοι χαλεπᾶς νόσω εὑρέ τι μᾶχος.*
*πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος· ἀλλὰ μολοῖσα* (95)
*τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·*
*τηνεὶ γὰρ φοιτῇ, τηνεὶ δέ οἱ ἁδὺ καθῆσθαι.*
*φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.* (98)
*κἠπεί κά νιν ἐόντα μάθῃς μόνον, ἅσυχα νεῦσον,* (99)
*κεἴφ' ὅτι "Σιμαίθα τυ καλεῖ", καὶ ὑφαγέο τεῖδε.'* (100)
*ὣς ἐφάμαν· ἃ δ' ἦνθε καὶ ἄγαγε τὸν λιπαρόχρων*
*εἰς ἐμὰ δώματα Δέλφιν· ἐγὼ δέ νιν ὡς ἐνόησα*
*ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ—*
*φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα—* (104)
*πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω*
*ἱδρώς μευ κοχύδεσκεν ἴσον νοτίαισιν ἐέρσαις,*
*οὐδέ τι φωνῆσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ*
*κνυζεῦνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·*
*ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.* (110)
*φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.* (110)
*καί μ' ἐσιδὼν ὥστοργος ἐπὶ χθονὸς ὄμματα πάξας* (111)

*ἕζετ᾽ ἐπὶ κλιντῆρι καὶ ἑζόμενος φάτο μῦθον·*
*‘ἦ ῥά με, Σιμαίθα, τόσον ἔφθασας, ὅσσον ἐγώ θην*
*πρᾶν ποκα τὸν χαρίεντα τράχων ἔφθασσα Φιλῖνον,*
*ἐς τὸ τεὸν καλέσασα τόδε στέγος ἢ ᾽μὲ παρῆμεν.* (115)
  *φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.* (116)
*ἦνθον γάρ κεν ἐγώ, ναὶ τὸν γλυκὺν ἦνθον Ἔρωτα,* (117)
*ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος αὐτίκα νυκτός,*
*μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,*
*κρατὶ δ᾽ ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,* (120)
*πάντοθι πορφυρέαισι περὶ ζώστραισιν ἑλικτάν.*
  *φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.* (122)
*καί κ᾽, εἰ μέν μ᾽ ἐδέχεσθε, τάδ᾽ ἧς φίλα (καὶ γὰρ ἐλαφρός* (123)
*καὶ καλὸς πάντεσσι μετ᾽ ἠιθέοισι καλεῦμαι),*
*εὗδόν τ᾽, εἴ κε μόνον τὸ καλὸν στόμα τεῦς ἐφίλησα·* (125)
*εἰ δ᾽ ἄλλᾳ μ᾽ ὠθεῖτε καὶ ἁ θύρα εἴχετο μοχλῷ,*
*πάντως κα πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ᾽ ὑμέας.*
  *φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.* (128)
*νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν,* (129)
*καὶ μετὰ τὰν Κύπριν τύ με δευτέρα ἐκ πυρὸς εἷλευ,* (130)
*ὦ γύναι, ἐσκαλέσασα τεὸν ποτὶ τοῦτο μέλαθρον*
*αὔτως ἡμίφλεκτον· Ἔρως δ᾽ ἄρα καὶ Λιπαραίω*
*πολλάκις Ἁφαίστοιο σέλας φλογερώτερον αἴθει·*
  *φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.* (134)
*σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο* (135)
*καὶ νύμφαν ἐφόβησ᾽ ἔτι δέμνια θερμὰ λιποῖσαν*
*ἀνέρος.᾽ ὣς ὃ μὲν εἶπεν· ἐγὼ δέ νιν ἁ ταχυπειθής*
*χειρὸς ἐφαψαμένα μαλακῶν ἔκλιν᾽ ἐπὶ λέκτρων·*
*καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα*
*θερμότερ᾽ ἦς ἢ πρόσθε, καὶ ἐψιθυρίσδομες ἁδύ.* (140)
*ὡς καί τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,*
*ἐπράχθη τὰ μέγιστα, καὶ ἐς πόθον ἤνθομες ἄμφω.*
*κοὔτε τι τῆνος ἐμὶν ἀπεμέμψατο μέσφα τό γ᾽ ἐχθές,*
*οὔτ᾽ ἐγὼ αὖ τήνῳ. ἀλλ᾽ ἦνθέ μοι ἅ τε Φιλίστας*
*μάτηρ τᾶς ἁμᾶς αὐλητρίδος ἅ τε Μελιξοῦς* (145)
*σάμερον, ἁνίκα πέρ τε ποτ᾽ ὠρανὸν ἔτραχον ἵπποι*
*Ἀῶ τὰν ῥοδόεσσαν ἀπ᾽ ὠκεανοῖο φέροισαι,*
*κεἶπέ μοι ἄλλα τε πολλὰ καὶ ὡς ἄρα Δέλφις ἔραται.*
*κεἴτε νιν αὖτε γυναικὸς ἔχει πόθος εἴτε καὶ ἀνδρός,*
*οὐκ ἔφατ᾽ ἀτρεκὲς ἴδμεν, ἀτὰρ τόσον· αἰὲν Ἔρωτος* (150)
*ἀκράτω ἐπεχεῖτο καὶ ἐς τέλος ᾤχετο φεύγων,*
*καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα τῆνα πυκαξεῖν.*
*ταῦτά μοι ἁ ξείνα μυθήσατο, ἔστι δ᾽ ἀλαθής.*
*ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοκ᾽ ἐφοίτη,*
*καὶ παρ᾽ ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν·* (155)
*νῦν δέ τε δωδεκαταῖος ἀφ᾽ ὧτέ νιν οὐδὲ ποτεῖδον.*
*ἦ ῥ᾽ οὐκ ἄλλο τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;*
*νῦν μὲν τοῖς φίλτροις καταδήσομαι· αἰ δ᾽ ἔτι κά με*
*λυπῇ, τὰν Ἀίδαο πύλαν, ναὶ Μοίρας, ἀραξεῖ·*
*τοιά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,* (160)
*Ἀσσυρίω, δέσποινα, παρὰ ξείνοιο μαθοῖσα.*
*ἀλλὰ τὺ μὲν χαίροισα ποτ᾽ ὠκεανὸν τρέπε πώλως,*
*πότνι᾽· ἐγὼ δ᾽ οἰσῶ τὸν ἐμὸν πόθον ὥσπερ ὑπέσταν.*
*χαῖρε, Σελαναία λιπαρόθρονε, χαίρετε δ᾽ ἄλλοι*
*ἀστέρες, εὐκάλοιο κατ᾽ ἄντυγα Νυκτὸς ὀπαδοί.*

Hippolytus, *Refutation of all Heresies* 4.37.

(1.) *Σελήνην δὲ ἐν ὀρόφῳ φαίνεσθαι δεικνύουσι καὶ ἀστέρας τοῦτον τὸν
τρόπον· ἐν μέσῳ τῆς ὀροφῆς μέρει προσαρμόσας κάτοπτρον, τιθεὶς
λεκάνην ὕδατος μεστὴν ἐν τῷ μέσῳ <κατὰ> τῆς γῆς κατ' ἴσον, λύχνον
δὲ μέσον φαίνον<τα> ἀμαυρὸν μετεωρότερον τῆς λεκάνης θείς, οὕτως
ἐκ τῆς ἀντανακλάσεως ἀποτελεῖ σελήνην φαίνεσθαι διὰ τοῦ κατόπτρου.*
(2.) *ἀλλὰ καὶ τύμπανον πολλάκις ἀφ' ὑψηλοῦ αἰωρηθὲν ὄρθιον περιβαλὼν
ἐσθῆτί τινι, σκεπόμενον ὑπὸ τοῦ συμπαίκτου, ἵνα μὴ πρὸ καιροῦ φανῇ,
<καὶ> κατόπιν θεὶς λύχνον, ἐπὰν τὸ σύνθημα παράσχῃ τῷ συμπαίκτῃ,
<οὗτος> τοσοῦτον ἀφαιρεῖ τοῦ σκεπάσματος, ὅσον ἂν συνεργήσαι πρὸς
τὸ μιμήσα<σθαι> κατὰ τὸν καιρὸν τῆς σελήνης τὸ σχῆμα. χρίει δὲ τὰ*
(3.) *διαφαίνοντα τοῦ τυμπάνου μέρη κινναβάρ<ει] καὶ κόμμι. καί τις
ἑτοιμό<τερος> δὲ ὀλίγης λαγήνου περικόψας τὸν τράχηλον καὶ τὸν
πυθμένα, ἐνθεὶς λύχνον καὶ περιθείς τι τῶν ἐπιτηδείων πρὸς τὸ διαυγεῖν
<τὸ> σχῆμα <*> στὰς <δὲ> ἐφ' ὑψηλοῦ κρύβδην ὑπό τινα σκέπην τις
τῶν συμπαικτῶν, μετὰ τὸ λαβεῖν τὸ σύνθημα ἐκ μετεώρου κατάγει τὰ*
(4.) *μηχανήματα, ὥ<στ>ε δοκεῖν ἐξ οὐρανοῦ κατιέν(αι) τὴν σελήνην. τὸ δὲ
ὅμοιον καὶ διὰ χύτρας γίνεται ἐν ὑλώδεσι τόποις· διὰ δὲ τῆς χύτρας καὶ
τὰ κατ' οἶκον παίζεται. βωμοῦ γὰρ κειμένου κατόπιν κεῖται ἡ χύτρα
ἔχουσα λύχνον φαίνοντα <ἀμαυρόν>· ὄντων δὲ πλειόνων λύχνων οὐδὲν
τοιοῦτον δείκνυται. ἐπὰν οὖν ἐπικαλέσηται ὁ ἐπαοιδὸς τὴν σελήνην,
πάντας κελεύει τοὺς λύχνους σβέννυσθαι, ἕνα δὲ ἀμαυρὸν καταλιπεῖν.
καὶ τότε ἀντανακλᾷ τὸ φῶς τὸ ἐκ τῆς χύτρας εἰς τὸν ὄροφον καὶ παρέ-
χει φαντασίαν σελήνης [καὶ] τοῖς παροῦσιν, ἐπισκεπασθέντος τοῦ στό-
ματος τῆς χύτρας πρὸς ὃ ἀπαιτεῖν ὁ καιρὸς δοκεῖ, ὡς μηνοειδῆ δείκνυ-
σθαι ἐν τῷ ὀρόφῳ τὴν φαντασίαν.*